eul_wid: uqy-as

*Πρόκλος ὁ Διάδοχος* · Proclus the Successor

# Epigrams

*Ἐπιγράμματα*

**Period:** *Ὀψιμαρχαία* Late Antique
**Dialect:** *Κοινὴ φιλοσοφική* Philosophical Koine
**Domain:** *Φιλοσοφία* Philosophy
**Format:** *Ἔμμετρος* Verse
**Affiliation:** Neoplatonist

Πρόκλος ἐγὼ γενόμην Λύκιος γένος, ὃν Συριανὸς
[para]ἐνθάδ’ ἀμοιβὸν ἑῆς θρέψε διδασκαλίης.
ξυνὸς δ’ ἀμφοτέρων ὅδε σώματα δέξατο τύμβος·
[para]αἴθε δὲ καὶ ψυχὰς χῶρος ἕεις λελάχοι.
Ῥηγίνου μελάθροισι τὸν εὐαστὴν Διόνυσον
[para]δέρκεο, δεξιτερῇ χειρὶ κυπελλοφόρον,
ξανθὴν μὲν σφίγγοντα καρήατος αἴθοπι κισσῷ
[para]χαίτην καὶ λαιῇ θυρσοφόρον παλάμῃ,
βαπτὰ δὲ πέπλα φέροντα κατὰ χροὸς αἵματι κόχλου
[para]καὶ στικτὴν νεβρίδων ἀμφικρεμῆ χλαμύδα.
αὐτὸν Βάκχον ἄνακτα δόμων ἔντοσθε δέδορκας
εὐξείνων, εὐχαῖς ἵλαον ἑσταότα.

Eulogikon public reading copy · View original HTML at eulogikon.org